10. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾿ Αὐτοῦ
ἐγένετο, καὶ ὁ κόσμος Αὐτὸν οὐκ ἔγνω.
11. Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι Αὐτὸν οὐ
παρέλαβον.
12. Ὅσοι δὲ ἔλαβον Αὐτόν, ἔδωκεν αὐτοῖς
ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς
πιστεύουσιν εἰς τὸ ὄνομα Αὐτοῦ,
13. Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος
σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ᾿
ἐκ Θεοῦ ἐγεννήθησαν.

14. Καὶ ὁ Λόγος σάρξ ἐγένετο, καὶ
ἐσκήνωσεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν
δόξαν Αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ
Πατρός, πλήρης χάριτος καὶ ἀληθείας.
15. Ἰωάννης μαρτυρεῖ περὶ Αὐτοῦ καὶ
κέκραγε λέγων· Οὗτος ἦν, Ὃν εἶπον· Ὁ
ὀπίσω μου Ἐρχόμενος ἔμπροσθέν μου
γέγονεν, ὅτι πρῶτός μου ἦν.
16. Καὶ ἐκ τοῦ πληρώματος Αὐτοῦ ἡμεῖς
πάντες ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος.
17. Ὅ τι ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ
χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ
ἐγένετο.

На древнегреческом языке
Печатается по: Евангелие от Иоанна, зачало 1-е, во Святый и Великий день Пасхи
М., Синодальная типография, 1913
© Издательство Московской Патриархии. 1998